Ακαδημία Αθηνών / Academy of Athens

**ὄλβιος** (ἀντίθ. *δειλός*). Εὐτυχής/μακάριος, happy/blissful, Ἐμπεδοκλῆς 132.1 *ὄ λ β ι ο ς, ὃς θείων πραπίδων ἐκτήσατο πλοῦτον, δειλὸς δ', ᾧ σκοτόεσσα θεῶν πέρι δόξα μέμηλεν.* Πρβλ. *δυσάνολβος, δυσδαίμων, δυστυχής.*

**ὄλβος** (ἀντίθ. *δυστυχία, πενίη*). Εὐτυχία/εὐμάρεια, felicity/wealth of being, Ἐμπεδοκλῆς 119 *ἐξ οἵης τιμῆς τε καὶ ὅσσου μήκεος ὄ λ β ο υ.* Πρβλ. *εὐδαιμονίη, εὐτυχίη, πλοῦτος.*

**ὀλέθριος** (ἀντίθ. *σωτήριος*). Ὀλέθριος/καταστροφικός, deadly/destructive, Ἡράκλειτος 61 *θάλασσα ὕδωρ καθαρώτατον καὶ μιαρώτατον, ἰχθύσι μὲν πότιμον καὶ σωτήριον, ἀνθρώποις δὲ ἄποτον καὶ ὀ λ έ θ ρ ι ο ν.* Πρβλ. *ὄλεθρος.*

**ὄλεθρος** (συνών. *φθορά*, ἀντίθ. *γένεσις*). Ὄλεθρος/καταστροφή, perishing/destruction, Παρμενίδης 8.21-27 *τὼς γένεσις μὲν ἀπέσβεσται καὶ ἄπυστος ὄ λ ε θ ρ ο ς ... γένεσις καὶ ὄ λ ε θ ρ ο ς τῆλε μάλ' ἐπλάχθησαν.*

**ὀλέκειν** (ἀντίθ. *τίκτειν*). Καταστρέφω, destroy, Ἐμπεδοκλῆς 17.4 *τὴν μὲν γὰρ πάντων σύνοδος τίκτει τ' ὀ λ έ κ ε ι τε, ἡ δὲ πάλιν διαφυομένων θρεφθεῖσα διέπτη.* Πρβλ. *ὄλεθρος.*

**ὀλιγομυθίη**. Ὀλιγολογία, fewness of words, Δημόκριτος 274 *κόσμος ὀ λ ι γ ο μ υ θ ί η γυναικί· καλὸν δὲ καὶ κόσμου λιτότης.*

**ὀλίγος** (ἀντίθ. *πολύς*). Ὀλίγος/ὀλιγόποσος, little/small in amount, Ἡράκλειτος 22 *χρυσὸν γὰρ οἱ διζήμενοι γῆν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσιν ὀ λ ί γ ο ν* Ἐμπεδοκλῆς 39.3 *εἴπερ ἀπείρονα γῆς τε βάθη καὶ δαψιλὸς αἰθήρ, ὡς διὰ πολλῶν δὴ γλώσσας ἐλθόντα ματαίως ἐκκέχυται στομάτων ὀ λ ί γ ο ν τοῦ παντὸς ἰδόντων* Δημόκριτος 191.8 *τῶν μὲν ζηλουμένων καὶ θαυμαζομένων ὀ λ ί γ η ν μνήμην ἔχοντα καὶ τῇ διανοίᾳ μὴ προσεδρεύοντα* 284 *ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀ λ ί γ α τοι πολλὰ δόξει.* || **ὀλίγοι**. Ὀλίγοι/ὀλιγάριθμοι, few/few in number, Ἡράκλειτος 104 *οἱ πολλοὶ κακοί, ὀ λ ί γ ο ι δὲ ἀγαθοὶ* Δημόκριτος 30 *τῶν λογίων ἀνθρώπων ὀ λ ί γ ο ι ἀνατείναντες τὰς χεῖρας ἐνταῦθα, ὃν νῦν ἠέρα καλέομεν οἱ Ἕλληνες* 191.23 *ταύτης γὰρ ἐχόμενος τῆς γνώμης εὐθυμότερόν τε διάξεις καὶ οὐκ ὀ λ ί γ α ς κῆρας ἐν τῷ βίῳ διώσεαι,*